ἐπεὶ ... τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οὐκ ἄρα
... ὁ ΕΖ. εἰ γὰρ ἐστὶ μονὰς ὁ ΕΖ καὶ ἔχει λόγον
... ὃν ἔχει ἡ ΑΓ πρὸς τὴν ΑΒ· καὶ μείζων ἡ ΑΓ τῆς
ΑΒ· μείζων ἄρα καὶ ἡ ΕΖ μονὰς τοῦ Η ἀριθμοῦ· ὅ-
περ ἄτοπον. οὐκ ἄρα μονάς ἐστιν ὁ ΕΖ· ἀριθμὸς
ἄρα. καὶ ἐπεί ἐστιν ὡς ἡ ΑΓ πρὸς τὴν ΑΒ, οὕτως ὁ ΕΖ
πρὸς τὸν Η, καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΓΑ πρὸς τὸ ἀπὸ
τῆς ΑΒ, οὕτως ὁ ἀπὸ τοῦ ΕΖ πρὸς τὸν ἀπὸ τοῦ Η·
διπλάσιον δὲ τὸ ἀπὸ τῆς ΓΑ τοῦ ἀπὸ τῆς ΑΒ· δι-
πλάσιος ἄρα καὶ ὁ ἀπὸ τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ Η· ἄρ-
τιος ἄρα ἐστὶν ὁ ἀπὸ τοῦ ΕΖ· ὥστε καὶ αὐτὸς ὁ ΕΖ ἄρ-
τιός ἐστιν. εἰ γὰρ ἦν περισσός, καὶ ὁ ἀπ' αὐτοῦ τετρά-
γωνος περισσὸς ἦν· ἐπειδήπερ ἐὰν περισσοὶ ἀ-
ριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, τὸ δὲ πλῆθος αὐ-
τῶν περισσὸν ᾖ, ὅλος περισσός ἐστιν· ὁ ΕΖ ἄρα ἄρ-
τιός ἐστι. τετμήσθω δίχα κατὰ τὸ Θ. καὶ ἐπεὶ οἱ ΕΖ Η
ἀριθμοὶ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐ-
τοῖς, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐστὶν ὁ ΕΖ ἄρ-
τιος· περισσὸς ἄρα ἐστὶν ὁ Η. εἰ γὰρ ἦν ἄρτιος, τοὺς
ΕΖ Η δυὰς ἐμέτρει· πᾶς γὰρ ἄρτιος ἔχει μέρος ἥμι-
συ· πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύ-
νατον. οὐκ ἄρα ἄρτιός ἐστιν ὁ Η· περισσὸς ἄρα. καὶ
ἐπεὶ διπλάσιός ἐστιν ὁ ΕΖ τοῦ ΕΘ· τετραπλάσιος
ἄρα ὁ ἀπὸ τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ ΕΘ. διπλάσιος δὲ
ὁ ἀπὸ τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ Η· διπλάσιος ἄρα ὁ
ἀπὸ τοῦ Η τοῦ ἀπὸ τοῦ ΕΘ· ἄρτιος ἄρα ἐστὶν ὁ






ἀπὸ τοῦ Η. ἄρ-
τιος ἄρα διὰ
τὰ προειρημένα ὁ
Η· ἀλλὰ καὶ πε-
ρισσός· ὅπερ
ἐστὶν ἀδύνατον·
οὐκ ἄρα σύμμε-
τρός ἐστιν ἡ ΓΑ
τῇ ΑΒ μήκει· ἀσύμμετρος ἄρα· :

ἄλλως.

Δεικτέον καὶ ἑτέρως ὅτι ἀσύμμετρός ἐστιν ἡ τοῦ τετρα-
γώνου διάμετρος τῇ πλευρᾷ· ἔστω γὰρ ἀντὶ μὲν
τῆς διαμέτρου ἡ Α· ἀντὶ δὲ τῆς πλευρᾶς ἡ Β· λέγω
ὅτι ἀσύμμετρός ἐστιν ἡ Α τῇ Β μήκει· εἰ γὰρ δυνατόν,
ἔστω σύμμετρος καὶ γεγονέτω πάλιν ὡς ἡ Α πρὸς
τὴν Β, οὕτως ὁ ΕΖ ἀριθμὸς πρὸς τὸν Η· καὶ ἔστωσαν
ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οἱ ΕΖ Η ἄρα
πρῶτοι πρὸς ἀλλήλους εἰσίν· λέγω πρῶτον ὅτι ὁ
Η οὐκ ἔστι μονάς· εἰ γὰρ δυνατόν, ἔστω μονάς· καὶ ἐπεί
ἐστιν ὡς ἡ Α πρὸς τὴν Β, οὕτως ὁ ΕΖ πρὸς τὸν Η· καὶ
ὡς ἄρα τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως
ὁ ἀπὸ τοῦ ΕΖ πρὸς τὸν ἀπὸ τοῦ Η· διπλάσιον δὲ τὸ
ἀπὸ τῆς Α τοῦ ἀπὸ τῆς Β· διπλάσιος ἄρα καὶ ὁ ἀπὸ
τοῦ ΕΖ τοῦ ἀπὸ τοῦ Η· καί ἐστι μονὰς ὁ Η· δυὰς
ἄρα ἐστὶν ὁ ἀπὸ τοῦ ΕΖ τετράγωνος· ὅπερ ἐστὶν ἀδύ-
νατον· οὐκ ἄρα μονάς ἐστιν ὁ Η· ἀριθμὸς ἄρα· καὶ
ἐπεί ἐστιν ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β, οὕτως

BODLEIANA